c.B. 2019/20 c.i. 18/19

**6** Individua il genitivo assoluto o l'accusativo assoluto, poi traduci.

1. Χειμῶνος ἐπιγιγνομένου, οἱ ναῦται ἐν ταῖς οἰκίαις μένουσιν.
2. Ὁ Ἀρχιμήδης ὁ εὑρετὴς ὑπὸ Ῥωμαίου στρατιώτου ἐκτείνετο, τῆς τῶν Συρακουσῶν πολιορκίας γιγνομένης.
3. Δέον τὴν τῆς Ἑλλάδος ἐλευθερίαν σῴζειν, πάντες οἱ λαῷ ἀθροίζονται καὶ βουλεύονται συμμάχεσθαι.
4. Οὔσης τῆς Ἀρτέμιδος ἑορτῆς, πάντες οἱ πολῖται ἐς τὸ τῆς θεᾶς ἱερὸν ἐπόμπευον.
5. Νῦν δέ, πρέπον ὑμῖν ἀκούειν τοῦ μάρτυρος, οὐκ ἀκούετε.
6. Οἴνου μηκέτι ὄντος, οὐκ ἔστι Κύπρις. (Menandro)
7. Τὸ δὲ φάρμακον πιόντων τῶν ἑταίρων τῶν τοῦ Λαερτιάδου, ἡ Κίρκη ἐφαπτομένη ῥάβδῳ τοὺς μὲν ἐποίει (*forma contratta*, = ἐποίεε) λύκους, τοὺς δὲ ὄνους, τοὺς δὲ λέοντας. (Pseudo-Apollodoro)
8. Βόες ἄμαξαν εἷλκον. Τοῦ δὲ ἄξονος τρίζοντος, βόες ἔφασαν πρὸς ἄμαξαν· «Ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ κράζεις;». (Esopo)

**7** Traduci.

1. Τῶν στρατιωτῶν τὰ χρήματα ἁρπαζόντων, ἐκ πολιορκίας ἁρπαγὴ γίγνεται. (Arriano)
2. Λακεδαιμονίων δὲ ἐπὶ στρατοπέδου Διοσκούροις ἑορτὴν ἀγόντων, ὁ Γώνιππος καὶ ὁ Πάνορμος χιτῶνας λευκοὺς καὶ χλαμύδας πορφυρᾶς ἐνδύοντες ἐπί τε ἵππων ὀχούμενοι, ἐν δὲ ταῖς χερσὶ δόρατα ἔχοντες ἐπιφαίνονται Λακεδαιμονίοις. (Pausania)
3. Ἀλώπηξ, εἰς ἀγέλην προβάτων εἰσερχομένη, θηλαζόντων τῶν ἀρνίων, ἓν (uno) ἀνελάμβανε καὶ προσεποιεῖτο καταφιλεῖν (*forme contratte*, = προσεποιέετο καταφιλέειν). (Esopo)
4. Οὐκ ἀποβαίνομεν, καίτοι τῶν ἑταίρων ἐπιθυμούντων (*forma contratta*, = ἐπιθυμεόντων). (Luciano)
5. Τὰ δὲ τῆς ψυχῆς τραύματα, μὴ κινουμένου (*forma contratta*, = κινεομένου) τοῦ σώματος, πολὺ μᾶλλον ὀδυνᾷ (*forma contratta*, = ὀδυνάει). (Achille Tazio)
6. Μαντευομένοις αὐτοῖς ὁ θεὸς ἐθέσπιζε νίκην Ἀλκμαίωνος ἡγουμένου (*forma contratta*, = ἡγεομένου). (Pseudo-Apollodoro)
7. Τῆς Καπανέως δὲ καιομένης πυρᾶς, Εὐάδνη, ἡ Καπανέως γυνή, ἑαυτὴν ἐμβάλλουσα συγκατεκαίετο. (Pseudo-Apollodoro)

**8** Traduci. c.i. 18/19

## L'assassino

c, B, 2019/20

# Versioni contestualizzate

## 3 Genealogie divine

*Secondo il mito greco, le più antiche divinità erano forze naturali, come il Cielo e la Terra, da cui nacquero gli dèi.*

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευε κόσμου. Ἐγάμει[1] δὲ Γῆν καὶ εἶχε πρώτους παῖδας τοὺς ἑκατόγχειρας, Βριάρεων, Γύην καὶ Κόττον, ἔχοντες χεῖρας μὲν ἑκατόν, κεφαλὰς δὲ πεντήκοντα. Οὐρανὸς πατὴρ ἦν καὶ τῶν Κυκλώπων, Ἄργου, Στερόπου καὶ Βρόντου. Ἀλλὰ Κύκλωπας μὲν Οὐρανὸς εἰς Τάρταρον ἔρριπτε (τόπος δὲ ἐρεβώδης ἐστὶν ἐν Ἅιδου). Οὐρανὸς ἐτέκνου[2] δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας· καὶ νεώτατος[3] ἁπάντων Κρόνος ἦν· εἶχε καὶ θυγατέρας τὰς ὀνομαζομένας Τιτανίδας, Τηθύν[4], Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην καὶ Θεΐαν. Ἀγανακτοῦσα[5] δὲ ἡ μήτηρ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι[6] τῷ πατρί, καὶ δίδωσιν[7] ἀδαμαντίνην ἅρπην Κρόνῳ. Κρόνος ἀποτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς καὶ εἰς τὴν θάλασσαν ῥίπτει. Ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος Ἐρινύες[8] ἐγίγνοντο, Ἀληκτώ, Τισιφόνη καὶ Μέγαιρα. Τῆς δὲ ἀρχῆς Οὐρανὸν ἐκβάλλοντες, οἱ Τιτᾶνες ἐκ τοῦ Ταρτάρου τοὺς ἀδελφοὺς ἀνῆγον καὶ τὴν ἀρχὴν Κρόνῳ παρεῖχον.

(da Pseudo-Apollodoro, *Biblioteca*)

**1. Ἐγάμει:** *forma contratta,* = ἐγάμεε. **2. ἐτέκνου:** *forma contratta,* = ἐτέκνοε. **3. νεώτατος:** il più giovane. **4. Τηθύν:** Teti (*acc.*). **5. Ἀγανακτοῦσα:** *forma contratta,* = ἀγανακτέουσα. **6. ἐπιθέσθαι:** ad aggredire. **7. δίδωσιν:** dà (*pres. indic. 3ª pers. sing., da* δίδωμι). **8. Ἐρινύες:** Erinni (*nom. plur.*).

## 4 Padre e figlio

*Lo scrittore Eliano ci tramanda un gustoso aneddoto sull'educazione dei figli presso i filosofi.*

Μειράκιον Ἐρετρικὸν προσεφοίτα[1] Ζήνωνι[2] μακροῦ χρόνου. Ὅτε ἀνὴρ ἐγίγνετο, ὕστερον οὖν ἐς τὴν Ἐρετρίαν ἐπανήρχετο καὶ αὐτὸν ὁ πατὴρ ἤρετο ὅ[3] τι ἄρα σοφὸν μανθάνοι ἐν τῇ διατριβῇ σὺν τῷ φιλοσόφῳ. Ὁ δὲ υἱὸς τῷ πατρὶ ἔφη· «Ἐγὼ δείκνυμί σοι ὕστερον». Καὶ οὐκ ἐς μακρὰν ἔπραττε τοῦτο[4]. Χαλεπαίνοντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείνοντος, ὁ δέ, τὴν ἡσυχίαν ἄγων, τοῦτο ἔφη μεμαθηκέναι[5], φέρειν ὀργὴν πατέρων.

(da Eliano, *Storia varia*)

**1. προσεφοίτα:** *forma contratta,* = προσεφοίταε. **2. Ζήνωνι:** *Zenone di Cizio (333-263 a.C.) fu il fondatore dello Stoicismo.* **3. ὅ τι ἄρα σοφόν:** che cosa di saggio. **4. τοῦτο:** ciò. **5. μεμαθηκέναι:** di aver imparato.

c, B, 2019|20

# Versioni contestualizzate

## 3 Genealogie divine

*Secondo il mito greco, le più antiche divinità erano forze naturali, come il Cielo e la Terra, da cui nacquero gli dèi.*

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευε κόσμου. Ἐγάμει[1] δὲ Γῆν καὶ εἶχε πρώτους παῖδας τοὺς ἑκατόγχειρας, Βριάρεων, Γύην καὶ Κόττον, ἔχοντες χεῖρας μὲν ἑκατόν, κεφαλὰς δὲ πεντήκοντα. Οὐρανὸς πατὴρ ἦν καὶ τῶν Κυκλώπων, Ἄργου, Στερόπου καὶ Βρόντου. Ἀλλὰ Κύκλωπας μὲν Οὐρανὸς εἰς Τάρταρον ἔρριπτε (τόπος δὲ ἐρεβώδης ἐστὶν ἐν Ἅιδου). Οὐρανὸς ἐτέκνου[2] δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας· καὶ νεώτατος[3] ἁπάντων Κρόνος ἦν· εἶχε καὶ θυγατέρας τὰς ὀνομαζομένας Τιτανίδας, Τηθύν[4], Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην καὶ Θεῖαν. Ἀγανακτοῦσα[5] δὲ ἡ μήτηρ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι[6] τῷ πατρί, καὶ δίδωσιν[7] ἀδαμαντίνην ἅρπην Κρόνῳ. Κρόνος ἀποτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς καὶ εἰς τὴν θάλασσαν ῥίπτει. Ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος Ἐρινύες[8] ἐγίγνοντο, Ἀληκτώ, Τισιφόνη καὶ Μέγαιρα. Τῆς δὲ ἀρχῆς Οὐρανὸν ἐκβάλλοντες, οἱ Τιτᾶνες ἐκ τοῦ Ταρτάρου τοὺς ἀδελφοὺς ἀνῆγον καὶ τὴν ἀρχὴν Κρόνῳ παρεῖχον.

(da Pseudo-Apollodoro, *Biblioteca*)

1. **Ἐγάμει:** *forma contratta,* = ἐγάμεε. 2. **ἐτέκνου:** *forma contratta,* = ἐτέκνοε. 3. **νεώτατος:** il più giovane. 4. **Τηθύν:** Teti (*acc.*). 5. **Ἀγανακτοῦσα:** *forma contratta,* = ἀγανακτέουσα. 6. **ἐπιθέσθαι:** ad aggredire. 7. **δίδωσιν:** dà (*pres. indic. 3ª pers. sing., da* δίδωμι). 8. **Ἐρινύες:** Erinni (*nom. plur.*).

## 4 Padre e figlio

*Lo scrittore Eliano ci tramanda un gustoso aneddoto sull'educazione dei figli presso i filosofi.*

Μειράκιον Ἐρετρικὸν προσεφοίτα[1] Ζήνωνι[2] μακροῦ χρόνου. Ὅτε ἀνὴρ ἐγίγνετο, ὕστερον οὖν ἐς τὴν Ἐρετρίαν ἐπανήρχετο καὶ αὐτὸν ὁ πατὴρ ἤρετο ὅ[3] τι ἄρα σοφὸν μανθάνοι ἐν τῇ διατριβῇ σὺν τῷ φιλοσόφῳ. Ὁ δὲ υἱὸς τῷ πατρὶ ἔφη· «Ἐγὼ δείκνυμί σοι ὕστερον». Καὶ οὐκ ἐς μακρὰν ἔπραττε τοῦτο[4]. Χαλεπαίνοντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείνοντος, ὁ δέ, τὴν ἡσυχίαν ἄγων, τοῦτο ἔφη μεμαθηκέναι[5], φέρειν ὀργὴν πατέρων.

(da Eliano, *Storia varia*)

1. **προσεφοίτα:** *forma contratta,* = προσεφοίταε. 2. **Ζήνωνι:** *Zenone di Cizio (333-263 a.C.) fu il fondatore dello Stoicismo.* 3. **ὅ τι ἄρα σοφόν:** che cosa di saggio. 4. **τοῦτο:** ciò. 5. **μεμαθηκέναι:** di aver imparato.